καὶ καυχᾶσθαι ἐν ταῖς αἰνέσεσίν σου.
[36]εὐλογημένος κύριος ὁ θεὸς Ισραηλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως 36
τοῦ αἰῶνος·
καὶ ἐρεῖ πᾶς ὁ λαός Αμην.
καὶ ᾔνεσαν τῷ κυρίῳ.
[37]Καὶ κατέλιπον ἐκεῖ ἔναντι τῆς κιβωτοῦ διαθήκης κυρίου τὸν 37
Ασαφ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ τοῦ λειτουργεῖν ἐναντίον τῆς κιβω-
τοῦ διὰ παντὸς τὸ τῆς ἡμέρας εἰς ἡμέραν· [38]καὶ Αβδεδομ καὶ οἱ 38
ἀδελφοὶ αὐτοῦ, ἑξήκοντα καὶ ὀκτώ, καὶ Αβδεδομ υἱὸς Ιδιθων καὶ
Οσσα εἰς πυλωρούς. [39]καὶ τὸν Σαδωκ τὸν ἱερέα καὶ τοὺς ἀδελφοὺς 39
αὐτοῦ τοὺς ἱερεῖς ἐναντίον σκηνῆς κυρίου ἐν Βαμα τῇ ἐν Γαβαων
[40]τοῦ ἀναφέρειν ὁλοκαυτώματα τῷ κυρίῳ ἐπὶ τοῦ θυσιαστηρίου τῶν 40
ὁλοκαυτωμάτων διὰ παντὸς τὸ πρωὶ καὶ τὸ ἑσπέρας καὶ κατὰ
πάντα τὰ γεγραμμένα ἐν νόμῳ κυρίου, ὅσα ἐνετείλατο ἐφ᾽ υἱοῖς
Ισραηλ ἐν χειρὶ Μωυσῆ τοῦ θεράποντος τοῦ θεοῦ· [41]καὶ μετ᾽ αὐ- 41
τοῦ Αιμαν καὶ Ιδιθων καὶ οἱ λοιποὶ ἐκλεγέντες ἐπ᾽ ὀνόματος τοῦ
αἰνεῖν τὸν κύριον, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, [42]καὶ μετ᾽ 42
αὐτῶν σάλπιγγες καὶ κύμβαλα τοῦ ἀναφωνεῖν καὶ ὄργανα τῶν ᾠδῶν
τοῦ θεοῦ, υἱοὶ Ιδιθων εἰς τὴν πύλην.
[43]Καὶ ἐπορεύθη ἅπας ὁ λαὸς ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, καὶ 43
ἐπέστρεψεν Δαυιδ τοῦ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ.
[1]Καὶ ἐγένετο ὡς κατῴκησεν Δαυιδ ἐν οἴκῳ αὐτοῦ, καὶ εἶπεν 17
Δαυιδ πρὸς Ναθαν τὸν προφήτην Ἰδοὺ ἐγὼ κατοικῶ ἐν οἴκῳ κε-
δρίνῳ, καὶ ἡ κιβωτὸς διαθήκης κυρίου ὑποκάτω δέρρεων. [2]καὶ εἶπεν 2
Ναθαν πρὸς Δαυιδ Πᾶν τὸ ἐν τῇ ψυχῇ σου ποίει, ὅτι ὁ θεὸς μετὰ
σοῦ. — [3]καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ἐγένετο λόγος κυρίου 3
πρὸς Ναθαν λέγων [4]Πορεύου καὶ εἰπὸν πρὸς Δαυιδ τὸν παῖδά 4
μου Οὕτως εἶπεν κύριος Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοι-
κῆσαί με ἐν αὐτῷ· [5]ὅτι οὐ κατῴκησα ἐν οἴκῳ ἀπὸ τῆς ἡμέρας, 5
ἧς ἀνήγαγον τὸν Ισραηλ, ἕως τῆς ἡμέρας ταύτης καὶ ἤμην ἐν σκη-
νῇ καὶ ἐν καταλύματι. [6]ἐν πᾶσιν οἷς διῆλθον ἐν παντὶ Ισραηλ, εἰ 6
λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν Ισραηλ τοῦ ποιμαίνειν τὸν λαόν
μου λέγων ὅτι Οὐκ ᾠκοδομήκατέ μοι οἶκον κέδρινον. [7]καὶ νῦν 7

16 36 αιωνος 1⁰ ⌒ 2⁰ BS || 37 κατελιπον] -πεν A† | εναντι] -τιον A || 38 αβδεδομ bis: cf. 15 24 | ιδ(ε)ιθων B† hic et B in 41, BS† in 42; ιδιθουμ A hic et in 41, ιδεθων S† hic, ιδιθωμ S† in 41, ιδιθουν A in 42; cf. 9 16 25 1 II 29 14 35 15 | οσσα] οσα S†, ωσηε AL^p || 39 σκηνης] pr. της B || 40 ενετειλ.] εγενετο S*† | υιους A || 41 αυτου 1⁰] -των S || 42 υιοι BS†] pr. και οι A || 43 αυτου ult. > S*†
17 2 τη > B† | ο > B || 3 λεγων > BS† || 4 παιδα] δουλον BL† | μοι > B*† || 5 καταλυματι] καλυμματι B† || 6 ισραηλ 2⁰] pr. του B† | του ποιμαινειν BS†] pr. ενι των κριτων ισραηλ οις ενετειλαμην AV pau., pr. οις ενετειλαμην pl.